### Κανὼν Κ.

Κληρικὸς ἐγγύας διδοὺς, καθαιρείσθω.

### Κανὼν Κ΄.

Ἐπίσκοπος, ἢ πρεβύτερος, ἢ διάκονος ἐπὶ πορνείᾳ, ἢ ἐπιορκίᾳ, ἢ κλοπῇ ἁλοὺς, καθαιρείσθω, καὶ μὴ ἀφοριζέσθω. λέγει γὰρ ἡ γραφὴ· οὐκ ἐκδικήσεις δὶς ἐπὶ τὸ αὐτὸ· ὡσαύτως καὶ οἱ λοιποὶ κληρικοί.

### Κανὼν ΚΖ΄.

Ἐπίσκοπον, ἢ πρεσβύτερον, ἢ διάκονον, τύπτοντα πιστοὺς ἁμαρτάνοντας, ἢ ἀπίστους ἀδικήσαντας, καὶ διὰ τοιύτων φοβεῖν ἐθέλοντα, καθαιρεῖσθαι, προστάττομεν· οὐδαμοῦ γὰρ ὁ κύριος τοῦτο ἡμᾶς ἐδίδαξε· τοὐναντίον δὲ, αὐτὸς τυπτόμενος, οὐκ ἀντέτυπτε, λοδορούμενος, οὐκ ἀντελοιδώρει πάσχων οὐκ ἠπήλει.

### Κανὼν ΚΟ΄.

Εἴ τις ἐπίσκοπος διὰ χρημάτων τῆς ἀξίας ταύτης ἐγκρατὴς γένοιτο, ἢ πρεσβύτερος, ἢ διάκονος καθαιρείσθω καὶ αὐτὸς , καὶ ὁ χειροτονήσας, καὶ ἐκκοπτέσθω παντάπασι καὶ τῆς κοινωνίας, ὡς Σίμων ὁ μάγος ὑπ᾽ ἐμοῦ Πέτρου.

### Κανὼν Λ΄.

Εἴ τις ἐπίσκοπος κοσμικοῖς ἄρχουσι χρησάμενος, δι᾽ αὐτῶν ἐγκρατὴς ἐκκλησίας γένοιτο, καθαιρείσθω, καὶ ἀφοριζέσθω· καὶ οἱ κοινωνοῦντες αὐτῷ πάντες.